Apologie I

52. 1 Επειδή τοίνυν τά γενόμενα ήδη πάντα άπεδείκνυμεν | πριν ή γενέσθαι προκεκηρύχθαι διά τών προφητών, άνάγκη καϊ περί τών ομοίως προφητευθέντων, μελλόντων δέ γίνεσθαι, πίστιν έχειν ώς πάντως γενησομένων. 2. Όν γάρ τρόπον τά ήδη γενόμενα προκεκηρυγμένα καί άγνοούμενα άπέοη, τόν αύτόν τρόπον καί τά λείποντα, καν άγνοήται καί άπιστήται, άποβήσονται. 3. Δύο γάρ αύτού παρουσίας προεκήρυξαν οί προφήται' μίαν μέν, τήν ήδη γενομένην, ώς άτιμου και παθη- τοΰ άνθρώπου , τήν δέ δευτέραν, όταν μετά δόξης έξ ουραίο νών μετά τής άγγελικής αύτου στρατιάς παραγενήσεσθαι κεκήρυκται οτε και τά σώματα άνεγερεϊ πάντων τών γενομένων άνθρώπων, καϊ τών μέν άξιων ένδύσει άφΟαρσίαν ε, τών δ’ άδικων έν αΐσθήσει αίωνία μετά τών φαύλων δαιμόνων είς τό αιώνιον πυρ πέμψει4. 'Ως δέ καί ταύτα προείρηται γενησόμενα, δηλώσομεν. 5. Έρρέθη δέ διά ’Ιεζεκιήλ τοΰ προφήτου ούτως' « Συναχθήσεται άρμονία προς άρμονίαν καί όστέον προς όστέον, καί σάρκες άναφυήσονται ε. 6. Καί παν γόνυ κάμψει τω κυρίω, καί πάσα γλώσσα έξομολογήσεται αύτώ . » 7. Έν οΐα δέ αΐσθήσει καί κολάσει γενέσθαι μέλ- λουσιν οί άδικοι, άκούσατε τών ομοίως είς τουτο είρημένων.

Dialog

CX 5

Τάδε λοιπά τής προφητείας έν τή δευτέρα αύτού παρουσία άποοήσε- ται. Τήν γάρ έκτεθλιμμένην ζα'ι έξωσμένην [Mich., IV, 6],τουτέστιν άπό τού ζόσμου, 'όσον έφ’ ύμΐν ζα’ι τοίς άλλοις άπασιν άνθρώποις, ού μόνον άπό τών κτημάτων τών ιδίων έκαστος τών Χριστιανών έκβέ^ληται άλλά zal· τοΰ κόσμου παντός, ζην μηδενί Χριστιανώ συγχωρούντες.

CXI. Και ότι δύο παρουσίας συμβολικώς γενήσεσθαι τούτου του Χρίστου ζα'ι ύπό Μωσέως προελέγετο. προεί- πον διά του συμβόλου τών έν τή νηστεία προσφερομενων τράγων. Κα'ι πάλιν έν οίς έποίησαν Μωσής ζα'ι Ιησούς τό αύτό προκηρυσσόμενον συμβολιζώς ήν ζα'ι λεγόμενον. Ό μέν γάρ αύτών τάς χεϊρας έκτείνας έπ'ι του βουνού μέχρις [fol. 4 63bj έσπέρας έμενεν , ύποβασταζομε'νων τών χειρών, ζ ουδενος άλλου τύπον δείζνυσιν ή τού σταυρού, ό δέ τώ ’Ιησού ονόματι μετονομασθείς ήρχε τής μάχης, καϊ ένίκα Ισραήλ.

CXXII

[3] Εί δέ έν τή άτίμω καϊ άειδεϊ καϊ έξουθενημένη πρώτη παρουσία αύτου τοσουτον έ'λαμψε καϊ ίσχυσεν, ώς έν μηδενϊ γένει άγνοεϊσθαι αύτον και άπο παντός μετάνοιαν πεποιήσθαι άπο τής παλαιάς κακής έκάστου γένους πολιτείας, ώστε και τά δαιμόνια ύποτάσσεσθαι αύτου τω ονόματι καϊ πάσας τάς άρχάς καϊ τάς βασιλείας τούτου τό ονομα παρά πάντας τούς άποθανοντας δεδοικέναι, ούκ έκ παντός τρόπου έν τή ένδόξω αύτου παρουσία καταλύσει πάντας τούς μισή- σαντας αύτον καϊ τούς αύτου αδίκως άποστάντας, τούς δέ ίδιους αναπαύσει, άποδιδούς αύτοΐς τά προσδοκώμενα πάντα ;